# ΚΥΡΙΑΚΗ Β′ ΝΗΣΤΕΙΩΝ

## Γρηγόριος, ὁ Παλαμᾶς, Ἀρχιεπίσκοπος Θεσσαλονίκης



*Ἱερὰ Εἰκὼν (τέλος ΙϚ΄ αἰ.) Ἱ. Μ. Διονυσίου Ἄθωνος.*

**Ἀπολυτίκιον.** Ἦχος πλ. δ΄.

Ὀρθοδοξίας ὁ φωστήρ, Ἐκκλησίας τὸ στήριγμα καὶ διδάσκαλε, τῶν μοναστῶν ἡ καλλονή, τῶν θεολόγων ὑπέρμαχος ἀπροσμάχητος, Γρηγόριε θαυματουργέ, Θεσσαλονίκης τὸ καύχημα, κήρυξ τῆς χάριτος, ἱκέτευε διαπαντός, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Κοντάκιον.** Ἦχος ὁ αὐτός. Τῇ ὑπερμάχῳ.

Τὸ τῆς σοφίας ἱερὸν καὶ θεῖον ὄργανον, θεολογίας τὴν λαμπρὰν συμφώνως σάλπιγγα, ἀνυμνοῦμέν σε, Γρηγόριε θεοῤῥῆμον. Ἀλλ᾽ ὡς νοῦς Νοΐ τῷ πρώτῳ παριστάμενος, πρὸς αὐτὸν τὸν νοῦν ἡμῶν Πάτερ ὁδήγησον, ἵνα κράζωμεν· χαῖρε Κήρυξ τῆς χάριτος.

**Μεγαλυνάριον.**

Ὄργανον τοῦ Πνεύματος θαυμαστόν, καὶ τῆς Ἐκκλησίας, Ἱεράρχης θεοειδής, καὶ Φωτὸς τοῦ θείου, ἐκφάντωρ ἀνεδείχθης, Ποιμὴν Θεσσαλονίκης, Πάτερ Γρηγόριε.

**Στίχοι.**

Φωτὸς λαμπρὸν κήρυκα νῦν ὄντως μέγαν,
Πηγὴ φάους ἄδυτον ἄγει πρὸς φέγγος.

### Τῇ δευτέρᾳ Κυριακῇ τῶν Νηστειῶν

*(Ἑβρ. α΄ 10-β΄ 3· Μάρκ. β΄ 1-12)*

**Ψάλλεται** ἡ Ἀκολουθία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου, Ἀρχιεπισκόπου Θεσσαλονίκης, τοῦ Παλαμᾶ.

Ὁ θεῖος οὗτος πατήρ, ἐξ Ἀσίας καταγόμενος, ἀνετράφη παιδιόθεν ἐν τῇ βασιλικῇ τῆς Κωνσταντινουπόλεως αὐλῇ, ὅπου καὶ τὴν καθ᾽ ἡμᾶς καὶ τὴν θύραθεν ἐπαιδεύθη σοφίαν. Μετὰ ταῦτα, καταλιπὼν τὰ βασίλεια, ἤσκησεν ἐκ νεότητος ἐν τῷ Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος, καὶ ἐν τῇ κατὰ

Βέρροιαν Σκήτῃ. Διέτριψεν ἐν Θεσσαλονίκῃ πρὸς θεραπείαν τῶν ἐκ τῆς σκληραγωγίας ἀσθενειῶν αὐτοῦ. Παρέστη εἰς τὰς ἐν Κωνσταντινουπόλει συγκροτηθείσας Συνόδους τῷ 1341 ἔτει κατὰ Βαρλαὰμ τοῦ Καλαβροῦ, καὶ τῷ 1347 κατὰ τοῦ ὁμόφρονος αὐτοῦ Ἀκινδύνου, ἐν αἷς γενναίως ἠγωνίσατο ὑπὲρ τῶν ὀρθῶν τῆς Ἀνατολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας δογμάτων. Κατὰ δὲ τὸ 1349 ἔτος προχειρισθεὶς Θεσσαλονίκης μητροπολίτης καὶ ποιμάνας τὸ ποίμνιον αὐτοῦ ἀποστολικῶς 13 ἔτη, καὶ ζήσας τὰ πάντα 63, καὶ πολλὰ συγγραψάμενος, ἀνεπαύσατο ἐν Κυρίῳ († 1359). Τοῦ ἱεροῦ τοῦτου λειψάνου μέρος σώζεται ἐν τῇ τῆς Θεσσαλονίκης Μητροπόλει· τὴν δὲ ᾀσμματικὴν ἀκολουθίαν ἐποίησε Φιλόθεος ὁ Πατριάρχης τῷ 1368 ἔτει, ὅτε καὶ ἡ ἑορτὴ αὐτοῦ ἐθεσπίσθη κατὰ τὴν σήμερον ἡμέραν.



*Ἱερὰ Εἰκὼν ἐκ τοῦ Ἁγιογραφείου Ἱ. Μ. Ἁγίου Κυπριανοῦ (2004).*

❖